# ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΗ ΑΚΟΛΟΥΘΙΩΝ




**Ἀπό 9ης ἕως 15ης Αὐγούστου**

**2020**




**9. † ΚΥΡΙΑΚΗ μετὰ τὴν ἑορτήν.** Ματθίου τοῦ ἀποστόλου († 63). Ἦχος πλ. δ΄, ἑωθινὸν θ΄ (Τ.Μ.Ε., 6 Αὐγούστου §§7-9).

***Σημείωσις.*** *Κατὰ παγίαν τάξιν τοῦ Τ.Μ.Ε. (διατάξεις 6ης Αὐγ. §§ 7-9) ἡ μὴ ἑορτάσιμος ἀκολουθία τοῦ ἁγίου τοῦ Μηναίου καταλιμπάνεται (λεγομένη ἐν τοῖς ἀποδείπνοις).*

**Εἰς τὸν ἑσπερινόν.** Ὁ προοιμιακὸς καὶ τὸ Ψαλτήριον.

ΕΙΣ ΤΟ «*ΚΥΡΙΕ, ΕΚΕΚΡΑΞΑ*» ἀναστάσιμα 6 καὶ μεθέορτα (9ης Αὐγ.) 3 «*Τῆς παναγίας ἐνδόξου μεταμορφώσεως*» κ.λπ. εἰς 4, Δόξα, «*Δεῦτε ἀναβῶμεν*» (λιτῆς τῆς ἑορτῆς), Καὶ νῦν, «*Ὁ βασιλεὺς τῶν οὐρανῶν*». Εἴσοδος κ.λπ..

ΑΠΟΣΤΙΧΑ τὰ ἀναστάσιμα, Δόξα, Καὶ νῦν, «*Νόμου καὶ προφητῶν σε*» (λιτῆς 6ης Αὐγούστου).

ΑΠΟΛΥΤΙΚΙΑ *«Ἐξ ὕψους κατῆλθες»*, Δόξα, Καὶ νῦν, *«Μετεμορφώθης ἐν τῷ ὄρει»*. Ἀπόλυσις *«Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ ἐνώπιον τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ ἀποστόλων καὶ ἀναστὰς ἐκ νεκρῶν...»*

**Τὸ μεσονυκτικὸν** τῆς Κυριακῆς ὡς εἴθισται, καὶ τὸ ἀπολυτίκιον *«Μετεμορφώθης»*.

**Εἰς τὸν ὄρθρον.** Μετὰ τὰ συνήθη, εἰς τὸ *«Θεὸς Κύριος»* ἀπολυτίκια *«Ἐξ ὕψους κατῆλθες»*, Δόξα, τὸ αὐτό, Καὶ νῦν, *«Μετεμορφώθης»*. [Τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος.]

ΚΑΘΙΣΜΑΤΑ τὰ ἀναστάσιμα ἀλλ' ἀντὶ θεοτοκίων τὰ μεθέορτα τῆς 9ης Αὐγούστου. Εὐλογητάρια. Ἡ ὑπακοή, οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον τοῦ ἤχου.

ΕΥΑΓΓΕΛΙΟΝ ἑωθινὸν (θ´) μετὰ πάσης τῆς τάξεως αὐτοῦ.

ΚΑΝΟΝΕΣ, ὁ ἀναστάσιμος μετὰ τῶν εἱρμῶν καὶ ὁ α´ τῆς ἑορτῆς. Ἀπὸ γ´ ᾠδῆς [τὸ κοντάκιον τῆς ἑορτῆς καὶ] τὸ μεθέορτον μεσῴδιον κάθισμα *«Ἑορτὴ ὑπέρλαμπρος»* (τῆς 9ης Αὐγούστου). Ἀφ' ϛ´ τὸ ἀναστάσιμον κοντάκιον μετὰ τοῦ οἴκου καὶ τὸ συναξάριον.

ΚΑΤΑΒΑΣΙΑΙ οἱ εἱρμοὶ *«Σταυρὸν χαράξας»*· *«Τὴν τιμιωτέραν»*, *«Μυστικὸς εἶ, Θεοτόκε»*.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ *«Ἅγιος Κύριος»* κ.λπ., τὸ θ´ ἀναστάσιμον *«Συγκεκλεισμένων Δέσποτα»*, καὶ τὸ τῆς ἑορτῆς *«Πρὸ τοῦ σταυροῦ σου»* (9ης Αὐγ.).

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ ἀναστάσιμα 4 καὶ –διὰ τὸ μὴ ὑπάρχειν κατάλληλα μεθέορτα εἰς τὸ μηναῖον*– τῆς κυρίας ἡμέρας τῆς ἑορτῆς (6 Αὐγ.) στιχηρὰ προσόμοια 3 *«Πρὸ τοῦ τιμίου σταυροῦ σου»* κ.λπ. εἰς 4, μετὰ στίχων εἰς τὰ δύο τελευταῖα α) *«Σοί εἰσιν οἱ οὐρανοὶ καὶ σή ἐστιν ἡ γῆ· τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας»*, β) *«Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται»*, Δόξα, τὸ θ´ ἑωθινὸν *«Ὡς ἐπ' ἐσχάτων τῶν χρόνων»*, Καὶ νῦν, *«Ὑπερευλογημένη»*. Δοξολογία μεγάλη, *«Ἀναστὰς ἐκ τοῦ μνήματος»* (ἢ *«Σήμερον σωτηρία»*).

---

* Ὅρα ὑποσημείωσιν εἰς τοὺς αἴνους τῆς Κυρ. 12 Ἰανουαρίου.

**Εἰς τὴν λειτουργίαν.** Τὰ ἀντίφωνα τῆς ἑορτῆς μετὰ τῶν ἐφυμνίων αὐτῶν ὡς ἐν τῷ Μηναίῳ [ἢ τὰ τυπικὰ καὶ οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς 4 καὶ 4 ἐκ τῆς ϛ΄ ᾠδῆς τοῦ κανόνος τῆς ἑορτῆς].

ΕΙΣΟΔΙΚΟΝ *«Δεῦτε προσκυνήσωμεν... Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν».*

ΜΕΤΑ ΤΗΝ ΕΙΣΟΔΟΝ ἀπολυτίκια *«Ἐξ ὕψους κατῆλθες», «Μετεμορφώθης ἐν τῷ ὄρει»* καὶ τοῦ ἁγίου τοῦ ναοῦ, κοντάκιον *«Ἐπὶ τοῦ ὄρους μετεμορφώθης».*

ΑΝΑΓΝΩΣΜΑΤΑ. Ἀπόστολος: Κυρ. θ΄ ἐπιστ., *«Θεοῦ ἐσμὲν συνεργοί»* (Α Κορ. γ΄ 9-17)· Εὐαγγέλιον: Κυρ. θ΄ Ματθ., *«Ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ»* (Μτθ. ιδ΄ 22-34).

*«Ἄξιον ἐστί».* Κοινωνικὸν *«Αἰνεῖτε»· «Εἴδομεν τὸ φῶς»,* καὶ τὰ λοιπὰ τῆς λειτουργίας ὡς συνήθως.

**Τῇ Κυριακῇ ἑσπέρας** ὁ ἑσπερινὸς τῆς 10ης Αὐγ. μετὰ τῆς μεγάλης παρακλήσεως. Ἐν τέλει τὸ ἀπολυτίκιον *«Μετεμορφώθης».* [Ἐν τῇ ἀπολύσει μνημονεύεται ὁ ἅγιος τῆς 10ης Αὐγ.]

**10. Δευτέρα.** Λαυρεντίου ἀρχιδιακόνου καὶ μάρτυρος. Ξύστου ἐπισκόπου Ῥώμης τοῦ ἐξ Ἀθηνῶν († 258).

Ἀπόστολος: ἡμέρας, Δευτ. ι΄ ἑβδ. ἐπιστ. (Α΄ Κορ. ιε΄ 12-20).

Εὐαγγέλιον: ἡμέρας, Δευτ. ι΄ ἑβδ. Ματθ. (Μτθ. κα΄ 18-22).

**Τῇ Δευτέρᾳ ἑσπέρας** ὁ ἑσπερινὸς τῆς 11ης Αὐγ. μετὰ τῆς μικρᾶς παρακλήσεως. Ἐν τέλει τὸ ἀπολυτίκιον *«Μετεμορφώθης»* [ἐν τῇ ἀπολύσει μνημονεύεται ὁ ἅγιος τῆς 11ης Αὐγ.].

**11. Τρίτη.** Εὔπλου διακόνου († 304). Νήφωνος ΚΠόλεως († 1502)· ἀνάμνησις θαύματος τοῦ ἁγ. Σπυρίδωνος ἐν Κερκύρᾳ (1716).

Ἀπόστολος: ἡμέρας, Τρ. ι΄ ἑβδ. ἐπιστ. (Α΄ Κορ. ιε΄ 29-38).

Εὐαγγέλιον: ἡμέρας, Τρ. ι΄ ἑβδ. Ματθ. (Μτθ. κα΄ 23-27).

**Τῇ Τρίτῃ ἑσπέρας.** Ὁ ἑσπερινὸς τῆς 12ης Αὐγούστου, ὡς ἔχει ἐν τῷ Μηναίῳ, μετὰ τῆς μεγάλης παρακλήσεως· ἐν τέλει τὸ ἀπολυτίκιον τοῦ ὁσίου *«Ὀρθοδοξίας ὁδηγέ»,* Δόξα, Καὶ νῦν, τὸ τῆς ἑορτῆς *«Μετεμορφώθης».*

**12. Τετάρτη.** Φωτίου καὶ Ἀνικήτου τῶν μαρτύρων († 305-306).

***Εἴδησις.*** *Σήμερον συμψάλλεται καὶ ἡ ἀκολουθία τοῦ ἁγίου Μαξίμου τοῦ ὁμολογητοῦ διὰ τὸ ἀποδίδοσθαι αὔριον τὴν ἑορτήν.*

Ἀπόστολος: ἡμέρας, Τετ. ι΄ ἑβδ. ἐπιστ. (Α΄ Κορ. ις΄ 4-12).

Εὐαγγέλιον: ἡμέρας, Τετ. ι΄ ἑβδ. Ματθ. (Μτθ. κα΄ 28-32).

**Τῇ Τετάρτῃ ἑσπέρας.** Ὁ ἑσπερινὸς τῆς ἀποδόσεως ψάλλεται ὡς τῇ κυρίᾳ ἡμέρᾳ τῆς ἑορτῆς, ἄνευ ὅμως τῶν ἀναγνωσμάτων καὶ ἄνευ τῆς λιτῆς, ἅ τινα καταλιμπάνονται. Μετὰ τὸ *«Νῦν ἀπολύεις»* συνάπτεται καὶ ἡ μικρὰ παράκλησις. Μετὰ τὸ τρισάγιον κ.λπ. τὸ ἀπολυτίκιον τῆς ἑορτῆς *«Μετεμορφώθης ἐν τῷ ὄρει»* τρίς.

**13. Πέμπτη.** Ἀπόδοσις τῆς ἑορτῆς τῆς Μεταμορφώσεως· μετάθεσις λειψάνου τοῦ ἁγ. Μαξίμου τοῦ ὁμολογητοῦ.

***Σημείωσις.*** *Τὴν ἀκολουθίαν τῆς ἑορτῆς ζήτει εἰς τὴν 6ην τοῦ μηνός.*

**Τῇ Πέμπτῃ πρωΐ.** Τὸ καθ᾽ ἡμέραν μεσονυκτικόν, ἄνευ τῶν διὰ τὴν λιτὴν στιχηρῶν τῆς ἑορτῆς. Ὁ ὄρθρος ψάλλεται ὡς ἐν τῇ α΄ ἡμέρᾳ τῆς ἑορτῆς, ἀλλ᾽ ἄνευ τοῦ καθίσματος τοῦ πολυελέου καὶ ἄνευ τοῦ Εὐαγγελίου μετὰ τῆς τάξεως αὐτοῦ· ὅθεν μετὰ τὰ δύο καθίσματα, ὁ ν΄ ψαλμὸς καὶ εὐθὺς οἱ κανόνες· συναξάριον τὸ τῆς 13ης τοῦ μηνός.

**Εἰς τὴν λειτουργίαν** ἀντίφωνα καὶ εἰσοδικὸν τῆς ἑορτῆς· Ἀπόστολος: –μετὰ προκειμένου τῆς ἑορτῆς (διὰ τὴν ἀπόδοσιν αὐτῆς)– ἡμέρας, Πέμ. ι΄ ἑβδ. ἐπιστ. (Β΄ Κορ. α΄ 1-7)· Εὐαγγέλιον: ἡμέρας, Πέμ. ι΄ ἑβδ. Ματθ. (Μτθ. κα΄ 43-46). Εἰς τὸ *Ἐξαιρέτως* ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς τοῦ α΄ κανόνος *«Ὁ τόκος σου ἄφθορος»*. Κοινωνικὸν *«Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου...»*· ἀντὶ τοῦ *Εἴδομεν τὸ φῶς* τὸ *«Μετεμορφώθης»*.

**Τῇ Πέμπτῃ ἑσπέρας. Εἰς τὴν θ΄.** Ἀπολυτίκιον *«Μετεμορφώθης»*· κοντάκιον *«Ἐπὶ τοῦ ὄρους»*· ἀπόλυσις (μικρὰ) *«Ὁ ἐν τῷ ὄρει τῷ Θαβώρ»*, ὡς εἰς τὸν ἑσπερινὸν τῆς ἑορτῆς.

**Ὁ προεόρτιος ἑσπερινὸς** τῆς 14ης Αὐγ. κατὰ τὴν ἐν τῷ Μηναίῳ τάξιν καὶ ἡ τελευταία μεγάλη παράκλησις· μετὰ τὸ τρισάγιον κ.λπ. τὸ προεόρτιον ἀπολυτίκιον *«Λαοὶ προσκιρτήσατε»* (ἅπαξ).

**14. Παρασκευή.** Προεόρτια τῆς κοιμήσεως τῆς ὑπεραγίας Θεοτόκου, Μιχαΐου τοῦ προφήτου (η΄ π.Χ. αἰ.).

***Εἴδησις***. *Σήμερον, ἐὰν ἑορτάζεται ἅγιος, καταβασίαι* «Ἀνοίξω τὸ στόμα μου... ταύτης τὴν κοίμησιν» *(ὅρα εἱρμοὺς β΄ κανόνος 15ης Αὐγούστου).*

**Τῇ Παρασκευῇ πρωὶ** ὁ ὄρθρος κατὰ τὴν ἐν τῷ Μηναίῳ τάξιν (βλέπε καὶ ἔμπροσθεν εἰς τὰς γεν. τυπ. διατάξεις, §§52-63). Κοντάκιον λειτουργίας *«Τῇ ἐνδόξῳ μνήμῃ σου ἡ οἰκουμένη»*.

Ἀπόστολος: ἡμέρας, Παρ. ι΄ ἑβδ. ἐπιστ. (Β΄ Κορ. α΄ 12-20).

Εὐαγγέλιον: ἡμέρας, Παρ. ι΄ ἑβδ. Ματθ. (Μτθ. κβ΄ 23-33).

**15. Σάββατον.** † Η ΚΟΙΜΗΣΙΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ.

**Εἰς τὴν θ΄.** Ἀπολυτίκιον *«Λαοὶ προσκιρτήσατε»*· κοντάκιον *«Τῇ ἐνδόξῳ μνήμῃ σου»*.

**Εἰς τὸν ἑσπερινόν.** Ἡ ἀκολουθία ἅπασα ὡς ἔχει εἰς τὸ Μηναῖον, ἀλλὰ τὰ διὰ τὴν λιτὴν στιχηρὰ θὰ ψαλοῦν εἰς τὸ μεσονυκτικόν. Τὸ ἀπολυτίκιον *«Ἐν τῇ γεννήσει»* τρίς (ὡσαύτως καὶ εἰς τὸ *«Θεὸς Κύριος»*). Ἀπόλυσις *«Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ μητρός, ἧς τὴν κοίμησιν ἑορτάζομεν, δυνάμει τοῦ τιμίου...»*

**Εἰς τὸν ὄρθρον.** Ἡ ἀκολουθία ψάλλεται κατὰ τὴν τάξιν τοῦ Μηναίου. Εὐαγγέλιον τῆς ἑορτῆς *«Ἀναστᾶσα Μαριάμ»*. Οἱ δύο κανόνες μετὰ τῶν εἱρμῶν καὶ μετὰ στίχου *«Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς»*. Καταβασίαι *«Πεποικιλμένη τῇ θείᾳ δόξῃ»*· ἡ θ΄ ᾠδὴ τῶν δύο κανόνων μετὰ τῶν μεγαλυναρίων, εἰς μὲν τὸν α΄ *«Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε»* εἰς δὲ τὸν β΄ *«Ἄγγελοι τὴν κοίμησιν τῆς παρθένου»*, καὶ ὁ εἱρμὸς *«Αἱ γενεαὶ πᾶσαι... Νενίκηνται τῆς φύσεως οἱ ὅροι»*. Ἐξαποστειλάριον, αἶνοι κ.λπ. ὡς ἐν τῷ Μηναίῳ. Δοξολογία μεγάλη, *«Ἐν τῇ γεννήσει»* ἅπαξ.

***Σημείωσις.*** *Ἐνιαχοῦ, κατὰ παλαιὸν ἔθος, ψάλλονται καταβασίαι οἱ εἱρμοὶ ἀμφοτέρων τῶν κανόνων τῆς ἑορτῆς* «Πεποικιλμένη τῇ θείᾳ δόξῃ» *καὶ* «Ἀνοίξω τὸ στόμα μου» *(βλέπε εἰς τὸ Μηναῖον τὴν πρὸ τῶν κανόνων τῆς ἑορτῆς ὑπάρχουσαν διάταξιν).*

**Εἰς τὴν λειτουργίαν.** Ἀντίφωνα τὰ τῆς ἑορτῆς. Εἰσοδικὸν *«Δεῦτε προσκυνήσωμεν... Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἁγίοις*

*θαυμαστός»*. Μετὰ τὴν εἴσοδον μόνον τὸ ἀπολυτίκιον «*Ἐν τῇ γεννήσει»* καὶ τὸ κοντάκιον «*Τὴν ἐν πρεσβείαις»*. Ἀπόστολος: τῆς ἑορτῆς, 15 Αὐγ. ἢ 8 Σεπτ., «*Τοῦτο φρονείσθω ἐν ὑμῖν»* (Φιλιπ. β΄ 5-11)· Εὐαγγέλιον: ὁμοίως, «*Εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά»* (Λκ. ι΄ 38-42, ια΄ 27-28). Εἰς τὸ Ἐξαιρέτως ὁ εἱρμὸς «*Αἱ γενεαὶ πᾶσαι... Νενίκηνται τῆς φύσεως»*. Κοινωνικὸν «*Ποτήριον σωτηρίου»*· «*Εἴδομεν τὸ φῶς»*, καὶ τὰ λοιπὰ τῆς λειτουργίας ὡς συνήθως.

***Εἰδήσεις.*** *1. Ἀπὸ αὔριον μέχρι τῆς 22ας τοῦ μηνός, τῶν κανόνων τοῦ Μηναίου προτάσσονται οἱ τῆς ἑορτῆς τῆς κοιμήσεως· τῇ μὲν 16ῃ, 18ῃ, 20ῇ καὶ 22ᾳ τοῦ μηνὸς ὁ α΄ κανών, τῇ δὲ 17ῃ, 19ῃ καὶ 21ῃ ὁ β΄*

*2. Ἐπίσης ἀπὸ αὔριον μέχρι τῆς 23ης Αὐγούστου, ἐὰν ἑορτάζεται ἅγιος, ψάλλονται καταβασίαι* «Πεποικιλμένη». *Ἐν ταῖς λειτουργίαις, τὰ ἀντίφωνα τῆς ἑορτῆς (Τ.Μ.Ε., σελ. 49, §5)· κοντάκιον* «Τὴν ἐν πρεσβείαις».